eul_wid: ljk-af

*Θεόφραστος ὁ Ἐρέσιος* · Theophrastus of Eresus

# From the Metaphysics

*Ἐκ τῶν μετὰ τὰ φυσικά*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Peripatetic

Metaph.4a. (1) ΘΕΟΦΡΑΣΤΟΥ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ Πῶς ἀφορίσαι δεῖ καὶ ποίοις τὴν ὑπὲρ τῶν πρώτων θεωρίαν; ἡ γὰρ δὴ τῆς φύσεως πολυχουστέρα, καὶ ὥς γε δή τινές φασιν, ἀτακτοτέρα, μεταβολὰς ἔχουσα παντοίας· ἡ δὲ τῶν πρώτων ὡρισμένη καὶ ἀεὶ κατὰ ταὐτά· διὸ δὴ καὶ ἐν νοητοῖς, οὐκ αἰσθητοῖς, αὐτὴν τιθέασιν ὡς ἀκινήτοις καὶ ἀμεταβλήτοις, καὶ τὸ ὅλον δὲ σεμνοτέραν καὶ μείζω νομίζουσιν αὐτήν. Ἀρχὴ δέ, πότερα συναφή τις καὶ οἷον κοινωνία πρὸς ἄλληλα τοῖς τε νοητοῖς καὶ τοῖς τῆς φύσεως, ἢ οὐδεμία ἀλλ' ὥσπερ ἑκάτερα κεχωρισμένα συνεργοῦντα δέ πως εἰς τὴν πᾶσαν οὐσίαν. εὐλογώτερον δ' οὖν εἶναί τινα συναφὴν καὶ μὴ ἐπεισοδιῶδες τὸ πᾶν, ἀλλ' οἷον τὰ μὲν πρότερα τὰ δ' ὕστερα, καὶ ἀρχὰς τὰ δ' ὑπὸ τὰς ἀρχάς, ὥσπερ καὶ τὰ ἀίδια τῶν φθαρτῶν. εἰ δ' οὖν οὕτω, τίς ἡ φύσις αὐτῶν καὶ ἐν ποίοις; εἰ μὲν γὰρ ἐν τοῖς μαθηματικοῖς μόνον τὰ νοητά, καθά πέρ τινές φασιν, οὔτ' ἄγαν εὔσημος ἡ συναφὴ τοῖς αἰσθητοῖς, οὔθ' ὅλως ἀξιόχρεα φαίνεται παντός· οἷον γὰρ μεμηχανημένα δοκεῖ δι' ἡμῶν εἶναι σχήματά τε καὶ μορφὰς καὶ λόγους περιτιθέντων, αὐτὰ δὲ δι' αὑτῶν οὐδεμίαν ἔχειν φύσιν· εἰ δὲ μή, οὐχ οὕτως γε συνάπτειν τοῖς τῆς φύσεως ὥστ' ἐμποιῆσαι καθά περ ζωὴν καὶ κίνησιν αὐτοῖς· οὐδὲ γὰρ αὐτὸς ὁ ἀριθμός, ὅν περ δὴ πρῶτον καὶ κυριώτατόν τινες τιθέασιν.

Metaph.4b. (2) εἰ δ' ἑτέρα τις οὐσία προτέρα καὶ κρείττων ἐστίν, ταύτην πειρατέον λέγειν, πότερον μία τις κατ' ἀριθμὸν ἢ κατ' εἶδος ἢ κατὰ γένος. εὐλογώτερον δ' οὖν ἀρχῆς φύσιν ἐχούσας ἐν ὀλίγοις εἶναι καὶ περιττοῖς, εἰ μὴ ἄρα καὶ πρώτοις καὶ ἐν τῷ πρώτῳ. τίς δ' οὖν αὕτη καὶ τίνες, εἰ πλείους, πειρατέον ἐμφαίνειν ἁμῶς γέ πως εἴτε κατ' ἀναλογίαν εἴτε κατ' ἄλλην ὁμοίωσιν. ἀνάγκη δ' ἴσως δυνάμει τινὶ καὶ ὑπεροχῇ τῶν ἄλλων λαμβάνειν, ὥσπερ ἂν εἰ τὸν θεόν· θεία γὰρ ἡ πάντων ἀρχή, δι' ἧς ἅπαντα καὶ ἔστιν καὶ διαμένει. τάχα μὲν οὖν ῥᾴδιον τὸ οὕτως ἀποδοῦναι, χαλεπὸν δὲ σαφεστέρως ἢ πειστικωτέρως. Τοιαύτης δ' οὔσης τῆς ἀρχῆς, ἐπεί περ συνάπτει τοῖς αἰσθητοῖς, ἡ δὲ φύσις ὡς ἁπλῶς εἰπεῖν ἐν κινήσει καὶ τοῦτ' αὐτῆς τὸ ἴδιον, δῆλον ὡς αἰτίαν θετέον ταύτην τῆς κινήσεως· ἐπεὶ δ' ἀκίνητος καθ' αὑτήν, φανερὸν ὡς οὐκ ἂν εἴη τῷ κινεῖσθαι τοῖς τῆς φύσεως αἰτία, ἀλλὰ λοιπὸν ἄλλῃ τινὶ δυνάμει κρείττονι καὶ προτέρᾳ· τοιαύτη δ' ἡ τοῦ ὀρεκτοῦ φύσις, ἀφ' ἧς ἡ κυκλικὴ ἡ συνεχὴς καὶ ἄπαυστος.

Metaph.5a ὥστε κατ' ἐκεῖνο λύοιτο ἂν τὸ μὴ εἶναι κινήσεως ἀρχὴν ἢ εἰ κινούμενον κινήσει. Μέχρι μὲν δὴ τούτων οἷον ἄρτιος ὁ λόγος, ἀρχήν τε ποιῶν μίαν πάντων καὶ τὴν ἐνέργειαν καὶ τὴν οὐσίαν ἀποδιδούς, ἔτι δὲ μὴ διαιρετὸν μηδὲ ποσόν τι λέγων ἀλλ' ἁπλῶς ἐξαίρων εἰς κρείττω τινὰ

μερίδα καὶ θειοτέραν· οὕτω γὰρ μᾶλλον ἀποδοτέον ἢ τὸ διαιρετὸν καὶ μεριστὸν ἀφαιρετέον. ἅμᾳ γὰρ ἐν ὑψηλοτέρῳ τε καὶ ἀληθινωτέρῳ λόγῳ τοῖς λέγουσιν ἡ ἀπόφασις. Τὸ δὲ μετὰ ταῦτ’ ἤδη λόγου δεῖται πλείονος περὶ τῆς ἐφέσεως, ποία καὶ τίνων, ἐπειδὴ πλείω τὰ κυκλικὰ καὶ αἱ φοραὶ τρόπον τινὰ ὑπεναντίαι, καὶ τὸ ἀνήνυτον καὶ οὗ χάριν ἀφανές. εἴτε γὰρ ἓν τὸ κινοῦν, ἄτοπον τὸ μὴ πάντα τὴν αὐτήν· εἴτε καθ’ ἕκαστον ἕτερον αἵ τ’ ἀρχαὶ πλείους, ὥστε τὸ σύμφωνον αὐτῶν εἰς ὄρεξιν ἰόντων τὴν ἀρίστην οὐθαμῶς φανερόν. τὸ δὲ κατὰ τὸ πλῆθος τῶν σφαιρῶν τῆς αἰτίας μείζονα ζητεῖ λόγον· οὐ γὰρ 〈ἀρκεῖ〉 ὅ γε τῶν ἀστρολόγων. ἄπορον δὲ καὶ πῶς ποτε φυσικὴν ὄρεξιν ἐχόντων οὐ τὴν ἠρεμίαν διώκουσιν ἀλλὰ τὴν κίνησιν. τί οὖν ἅμᾳ τῇ μιμήσει φασὶν ἐκεῖνο ὁμοίως ὅσοι τε τὸ ἓν καὶ ὅσοι τοὺς ἀριθμοὺς λέγουσιν; καὶ γὰρ αὐτοὶ τοὺς ἀριθμούς φασιν τὸ ἕν. εἰ δ’ ἡ ἔφεσις ἄλλως τε καὶ τοῦ ἀρίστου μετὰ ψυχῆς, εἰ μή τις λέγοι καθ’ ὁμοιότητα καὶ μεταφοράν, ἔμψυχ’ ἂν εἴη τὰ κινούμενα· ψυχῇ δ’ ἅμᾳ δοκεῖ καὶ κίνησις ὑπάρχειν· ζωὴ γὰρ τοῖς ἔχουσιν, ἀφ’ ἧς καὶ αἱ ὀρέξεις πρὸς ἕκαστον, ὥσπερ καὶ τοῖς ζῴοις, ἐπεὶ καὶ αἱ αἰσθήσεις καίπερ ἐν τῷ πάσχειν οὖσαι δι’ ἑτέρων ὅμως ἐν ψυχῇ γίνονται.

Metaph.5b εἰ δ’ οὖν τῆς κυκλικῆς αἴτιον τὸ πρῶτον, οὐ τῆς ἀρίστης ἂν εἴη· κρεῖττον γὰρ ἡ τῆς ψυχῆς, καὶ πρώτη δὴ καὶ μάλιστα ἡ τῆς διανοίας, ἀφ’ ἧς καὶ ἡ ὄρεξις. Τάχα δὲ καὶ τοῦτ’ ἄν τις ἐπιζητήσειεν, διὰ τί τὰ κυκλικὰ μόνον ἐφετικά, τῶν δὲ περὶ τὸ μέσον οὐθὲν καίπερ κινητῶν ὄντων, πότερον ὡς ἀδύνατα ἢ ὡς οὐ δικνουμένου τοῦ πρώτου· ἀλλὰ τοῦτό γ’ ἄτοπον, εἰ δι’ ἀσθένειαν· ἰσχυρότερον γὰρ ἄν τις ἀξιώσειεν τοῦ Ὁμήρου Διός, ὅς φησιν αὐτῇ κεν γαίῃ ἐρύσαιμ’ αὐτῇ τε θαλάσσῃ. ἀλλὰ λοιπὸν ὥσπερ ἄδεκτόν τι καὶ ἀσύνετον εἶναι. τάχα δὲ πρότερον ζητήσειεν ἄν τις πῶς ἔχει, πότερα μέρη ταῦτα ἢ οὐ μέρη τοῦ οὐρανοῦ, καὶ εἰ μέρη, πῶς μέρη· νῦν γὰρ οἷον ἀπεωσμένα τῶν ἐντιμοτάτων οὐ μόνον κατὰ τὰς χώρας ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν, εἴ περ ἡ κυκλικὴ τοιαύτη· λαμβάνει γὰρ οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς κυκλικῆς περιφορᾶς καὶ εἰς τοὺς τόπους καὶ εἰς ἄλληλα τὰς μεταβολάς. Εἰ δὲ καὶ τὸ ἄριστον ἀπὸ τοῦ ἀρίστου, κάλλιον ἄν τι παρὰ τοῦ πρώτου δέοι τῆς κυκλοφορίας, εἰ μὴ ἄρ’ ἐκωλύετο τῷ μὴ δύνασθαι δέχεσθαι· τὸ γὰρ δὴ πρῶτον καὶ θειότατον πάντα τὰ ἄριστα βουλόμενον.

Metaph.6a τάχα δὲ τοῦτο μὲν οἷον ὑπερβατόν τι καὶ ἀζήτητον· ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ’ ὅμοια καὶ ἐν τοῖς ἀρίστοις εἶναι, μικράν τιν’ ἢ μηδεμίαν ἔχοντα διαφοράν. Τόδε δ’ ἄν τις ἴσως ἀπορήσειεν πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων, πότερον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ καὶ ἅμᾳ τῷ πεπαῦσθαι φθείροιτ’ ἄν, ἢ εἴ περ ἐφέσει τινὶ καὶ ὀρέξει, κατὰ συμβεβηκός· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ ὀρέγεσθαι— καὶ οὐθὲν κωλύει τοιαῦτ’ ἄττα τῶν ὄντων ὑπάρχειν. ἴσως δ’ ἂν εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν ὑπὲρ αὐτῆς τῆς κινήσεως ἀπορεῖν, εἰ ἀφαιρεθεῖσα φθείροι ἂν τὸν οὐρανόν. Καὶ τοῦτο μὲν ὥσπερ ἑτέρων λόγων. ἀπὸ δ’ οὖν ταύτης ἢ τούτων τῶν ἀρχῶν ἀξιώσειεν ἄν τις (τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων ἄρ’, ἄν τις τίθηται) τὰ ἐφεξῆς εὐθὺς ἀποδιδόναι καὶ μὴ μέχρι του προελθόντα παύεσθαι· τοῦτο γὰρ τελέου καὶ φρονοῦντος, ὅ περ Ἀρχύτας ποτ’ ἔφη ποιεῖν Εὔρυτον διατιθέντα τινὰς ψήφους· λέγειν γὰρ ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμός, ὅδε δὲ ἵππου, ὅδε δ’ ἄλλου τινὸς τυγχάνει. νῦν δ’ οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες καταπαύονται, καθά περ καὶ οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες· τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες καὶ τὰ ἐπίπεδα καὶ τὰ σώματα σχεδὸν τἆλλα παραλείπουσιν πλὴν ὅσον ἐφαπτόμενοι καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον, τὰ δ’ ἀπὸ τῶν ἀριθμῶν καὶ τοῦ ἑνός, οἷον ψυχὴ καὶ ἄλλ’ ἄττα· χρόνον δ’ ἅμᾳ καὶ οὐρανὸν καὶ ἕτερα δὴ πλείω, τοῦ δ’ οὐρανοῦ πέρι καὶ τῶν λοιπῶν οὐδεμίαν ἔτι ποιοῦνται μνείαν· ὡσαύτως δ’ οἱ περὶ Σπεύσιππον, οὐδὲ τῶν ἄλλων οὐθεὶς πλὴν Ξενοκράτης· οὗτος γὰρ ἅπαντά πως περιτίθησιν περὶ τὸν κόσμον, ὁμοίως αἰσθητὰ καὶ νοητὰ καὶ μαθηματικὰ καὶ ἔτι δὴ τὰ θεῖα.

Metaph.6b πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινός, οὐχ ὥσπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας

δ’ εἰς τοὺς ἀριθμούς, ἐκ δὲ τούτων εἰς τὰς ἀρχάς, εἶτα κατὰ τὴν γένεσιν μέχρι τῶν εἰρημένων· οἱ δὲ τῶν ἀρχῶν μόνον. ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις· τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. συμβαίνει δὲ τοὐναντίον ἢ ἐν ταῖς ἄλλαις μεθόδοις· ἐν ἐκείνοις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα καὶ οἷον τελεώτερα τῶν ἐπιστημῶν· τάχα δὲ καὶ εὐλόγως· ἔνθα μὲν γὰρ τῶν ἀρχῶν, ἐν δὲ ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις. Πῶς δέ ποτε χρὴ καὶ ποίας τὰς ἀρχὰς ὑποθέσθαι, τάχ’ ἂν ἀπορήσειέν τις, πότερον ἀμόρφους καὶ οἷον δυναμικάς, ὥσπερ ὅσοι πῦρ καὶ γῆν, ἢ μεμορφωμένας, ὡς μάλιστα δέον ταύτας ὡρίσθαι, καθά περ ἐν τῷ Τιμαίῳ φησίν· τοῖς γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις καὶ τὸ ὡρίσθαι. φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω, καθά περ ἐν γραμματικῇ καὶ μουσικῇ καὶ ταῖς μαθηματικαῖς, συνακολουθεῖ δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς· ἔτι δὲ καὶ κατὰ τὰς τέχνας ὁμοίως, αἵ περ τὴν φύσιν μιμοῦνται, καὶ τὰ ὄργανα καὶ τὰ ἄλλα κατὰ τὰς ἀρχάς.

Metaph.7a οἱ μὲν οὖν ἐμμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς· οἱ δ’ ἄμφω, τάς τ’ ἐμμόρφους καὶ τὰς τῆς ὕλης, ὡς ἐν ἀμφοῖν τὸ τέλεον 〈ὄν〉 · οἷον γὰρ ἐξ ἀντικειμένων τὴν ἅπασαν οὐσίαν. ἄλογον δὲ κἀκείνοις δόξειεν ἄν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ’ ἐν τάξει καὶ λόγῳ καὶ μορφαῖς καὶ δυνάμεσιν καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον ἀλλ’ “ὥσπερ σάρμα εἰκῇ κεχυμένων ὁ κάλλιστος”, φησὶν Ἡράκλειτος, ”[ὁ] κόσμος”. καὶ κατὰ τοὐλάχιστον δ’ ὡς εἰπεῖν λαμβάνουσιν ὁμοίως ἐν ἀψύχοις καὶ ἐμψύχοις· ὡρισμέναι γὰρ ἑκάστων αἱ φύσεις ὡς εἰπεῖν καί περ αὐτομάτως γινομένων· τὰς δ’ ἀρχὰς ἀορίστους εἶναι. Χαλεπὸν δὲ πάλιν αὖ τὸ τοὺς λόγους ἑκάστοις περιθεῖναι πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασιν, καὶ ἐν ζῴοις καὶ φυτοῖς καὶ ἐν αὐτῇ πομφόλυγι· πλὴν εἰ συμβαίνει τῇ ἑτέρων τάξει καὶ μεταβολῇ μορφάς τε παντοίας καὶ ποικιλίας γίνεσθαι τῶν περὶ τὸν ἀέρα καὶ τὴν γῆν· ὧν δὴ μέγιστόν τινες παράδειγμα ποιοῦνται τὰ περὶ τὰς ὥρας τὰς ἐτησίους, ἐν αἷς καὶ ζῴων καὶ φυτῶν καὶ καρπῶν γενέσεις, οἷον γεννῶντος τοῦ ἡλίου.

Metaph.7b καὶ ταῦτα μὲν ἐνταῦθά που ζητεῖ τὴν σκέψιν, ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον, καὶ διὰ τί τὸ πλέον ἀδύνατον ἢ εἰς τὸ χεῖρον ἡ μετάβασις. Ἐν δὲ ταῖς ἀρχαῖς, ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος, εἰκότως ἄν τις καὶ τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. εἰ μὲν γὰρ ὡς βέλτιον, ἀνάψειεν ἂν ταῖς ἀρχαῖς· εἰ δ’ ὡς ἀργία καὶ στέρησίς τις κινήσεως, οὐκ ἀνάψει, ἀλλ’ εἴ περ, τὴν ἐνέργειαν ἀντιμεταλλακτέον ὡς προτέραν καὶ τιμιωτέραν, τὴν δὲ κίνησιν ἐν τοῖς αἰσθητοῖς· ἐπεὶ τό γε διὰ τοῦτ’ ἠρεμεῖν ὡς ἀδύνατον ἀεὶ κινούμενον εἶναι τὸ κινοῦν—οὐ γὰρ ἂν εἴη πρῶτον—κίνδυνος μὴ λογῶδες, καὶ ἄλλως οὐκ ἀξιόπιστον, ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ. δοκεῖ δὲ καὶ ἡ αἴσθησις τρόπον τινὰ συναυδᾶν ὡς ἐνδεχόμενον μὴ ἀεὶ τὸ κινοῦν ἕτερον εἶναι καὶ ὃ κινεῖ διὰ τὸ ποιεῖν καὶ πάσχειν· ἔτι δ’ ἐάν τις ἐπ’ αὐτὸν ἄγῃ τὸν νοῦν καὶ τὸν θεόν. ἄτοπον δὲ καὶ τὸ ἕτερον λεχθέν, ὡς οὐ μιμοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος· τί γὰρ αὐτοῖς οὐ συνακολουθεῖ ἡ τῶν ἄλλων; πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον ὡς εἰς τὸ ἀμερὲς ἄγοντας, ἀλλ’ ὅπως ὅ τι μάλιστα σύμφωνον ἑαυτῷ καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον ἢ ἄλλο τι τῶν μεριστῶν ᾗ καὶ ὁ ὅλος οὐρανός, ὃν δή φασιν εἶναι τελεώτατον.

Metaph.8a Ἐπιποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον, πῶς ποτε τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν, πότερον ὡς τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν, δυνάμει δ’ ὂν καὶ ἀγόμενον εἰς ἐνέργειαν· ἢ ὂν μέν, ἀόριστον δὲ καθά περ ἐν ταῖς τέχναις, ᾗ δὲ γένεσις, ἡ οὐσία γ’ αὐτῶν τῷ μορφοῦσθαι κατὰ τοὺς λόγους· ἀλλ’ οὕτω γ’ εἰς μὲν τὸ βέλτιον τάχ’ ἂν ἡ μετάβασις εἴη, τὸ δ’ εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχοι κατ’ αὐτήν (οὐ γὰρ ἂν οὐδὲ γίνοιτο μὴ ὑπαρχούσης), ἀλλὰ τὸ μήτε τόδε μήτε ποιὸν μήτε ποσόν, ὡς ἀόριστον τοῖς εἴδεσιν, δύναμιν δέ τιν’ ἔχον. ὅλως δὲ κατ’ ἀναλογίαν ληπτέον ἐπὶ τὰς τέχνας καὶ εἴ τις ὁμοιότης ἄλλη. Δόξειεν δ’ ἂν καὶ τοῦτ’ ἔχειν ἀπορίαν, εἰ μὴ ἄρα περιεργίαν τοῦ ζητεῖν, τί δή ποτε ἡ φύσις καὶ ἡ ὅλη δ’ οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστίν, καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐστίν, ὥστε δοκεῖν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὐριπίδην καθόλου λέγειν ὡς “οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά”. ὁ δὲ τοιοῦτος λόγος ἐγγὺς τοῦ ζητεῖν ὅ τι οὐ πάντ’ ἀγαθὰ οὐδὲ πάντα ὅμοια, καὶ ὅ τι κατὰ πάντων μὲν τὸ εἶναι λέγομεν, οὐθὲν δὲ ὅμοιον ἀλλήλοις, καθά περ τὰ λευκὰ καὶ μέλανα, ἐν αὐτοῖς.

Metaph.8b ἔτι δὲ τὸ δοκοῦν παραδοξότερον, ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναντίων. οἱ δ’ ἔτι πλέονι τῷ παραδόξῳ χρώμενοι καὶ τὸ μὴ ὂν μηδὲ γεγονὸς μηδὲ μέλλον προσκαταριθμοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν. ἀλλ’ ἥδε μὲν οἷον ὑπερβατός τις σοφία. Τὸ δὲ ὂν ὅτι πολλαχῶς, φανερόν· ἡ γὰρ αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ καὶ τὰς αἰτίας ζητεῖ· τάχα δ’ ἀληθέστερον εἰπεῖν ὡς ὑποβάλλει τῇ διανοίᾳ τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ’ ἀπορίαν ἐνεργαζομένη, δι’ ἧς, κἂν μὴ δύνηται προβαίνειν, ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων ἐπὶ πλέον. τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τινος. εἴ τε γὰρ ἕτερα ἀλλήλων, διαφορά τις· ἔν τε τοῖς καθόλου πλειόνων ὄντων τῶν ὑπὸ τὰ καθόλου διαφέρειν ἀνάγκη καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου ἐάν τ’ εἴδη. σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων· ἥ τε γὰρ οὐσία καὶ τὸ τί ἦν εἶναι καθ’ ἕκαστον ἴδιον, τά τε θεωρούμενα καθ’ ἑαυτὰ καὶ οὐ κατὰ συμβεβηκὸς ἦν ἂν τὶ κατὰ τινός. ὅλως δὲ τὸ ἐν πλείοσιν τὸ αὐτὸ συνιδεῖν ἐπιστήμης, ἤτοι κοινῇ καὶ καθόλου λεγόμενον ἢ ἰδίᾳ πως καθ’ ἕκαστον, οἷον ἀριθμοῖς γραμμαῖς, ζῴοις φυτοῖς· τέλεος δ’ ἡ ἐξ ἀμφοῖν. ἔστιν δ’ ἐνίων μὲν καθόλου τέλος (ἐν τούτῳ γὰρ τὸ αἴτιον), τῶν δὲ τὸ ἐν μέρει, καθ’ ὅσα διαίρεσις εἰς τὰ ἄτομα, καθά περ ἐν τοῖς πρακτοῖς καὶ ποιητοῖς· οὕτως γὰρ αὐτῶν ἡ ἐνέργεια.

Metaph.9a Ταὐτῷ δ’ ἐπιστάμεθα καὶ οὐσίᾳ καὶ ἀριθμῷ καὶ εἴδει καὶ γένει καὶ ἀναλογίᾳ καὶ εἰ ἄρα παρὰ ταῦτα διαιρέσεις· διὰ πλείστου δὲ τὸ κατ’ ἀναλογίαν, ὡς ἂν ἀπέχοντος πλεῖστον, τὰ μὲν δι’ ἡμᾶς αὐτούς, τὰ δὲ διὰ τὸ ὑποκείμενον, τὰ δὲ διὰ τἄμφω. Πλεοναχῶς δ’ ὄντος τοῦ ἐπίστασθαι, πῶς ἕκαστα μεταδιωκτέον; ἀρχὴ καὶ μέγιστον ὁ οἰκεῖος τρόπος, οἷον τὰ πρῶτα καὶ νοητά, καὶ τὰ κινητὰ καὶ ὑπὸ τὴν φύσιν, αὐτῶν τε τούτων τὰ ἐν ἀρχῇ καὶ 〈τὰ〉 ἑπόμενα μέχρι ζῴων καὶ φυτῶν καὶ ἐσχάτων τῶν ἀψύχων. ἔστιν γάρ τι καθ’ ἕκαστον γένος ἴδιον, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. ἔχει δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφορὰν καί περ ὁμογενῆ πως ὄντα, διῄρηται δ’ ἱκανῶς. εἰ δὲ καὶ ἔνια γνωστὰ τῷ ἄγνωστα εἶναι, καθά πέρ τινές φασιν, ἴδιος ἂν ὁ τρόπος εἴη, διαιρέσεως δέ τινος δεῖται· τάχα δ’ ἐφ’ ὧν ἐνδέχεται, κατ’ ἀναλογίαν οἰκειότερον λέγειν ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθά περ εἴ τις τῷ ἀοράτῳ τὸ ἀόρατον. πόσοι δ’ οὖν τρόποι καὶ ποσαχῶς τὸ εἰδέναι, πειρατέον διελεῖν. ἡ δ’ ἀρχὴ πρὸς αὐτὰ ταῦτα καὶ πρῶτον τὸ ἀφορίσαι τί τὸ ἐπίστασθαι. χαλεπώτερον δ’ ἂν δόξειεν (οὐ γὰρ οἷόν τε καθόλου καὶ κοινόν τι λαβεῖν ἐν τοῖς πλεοναχῶς λεγομένοις).

Metaph.9b ἦ καὶ τοῦτ’ ἄπορον ἢ οὐ ῥᾴδιόν γε εἰπεῖν, μέχρι πόσου καὶ τίνων ζητητέον αἰτίας ὁμοίως ἔν τε τοῖς αἰσθητοῖς καὶ νοητοῖς· ἡ γὰρ εἰς τὸ ἄπειρον ὁδὸς ἐν ἀμφοῖν ἀλλοτρία καὶ ἀναιροῦσα τὸ φρονεῖν. ἀρχαὶ δὲ τρόπον τινὰ ἄμφω. τάχα δ’ ἡ μὲν ἡμῖν ἡ δ’ ἁπλῶς, ἢ τὸ μὲν τέλος ἡ δ’ ἡμετέρα τις ἀρχή. μέχρι μὲν οὖν τινὸς δυνάμεθα δι’ αἰτίου θεωρεῖν, ἀρχὰς ἀπὸ τῶν αἰσθήσεων λαμβάνοντες· ὅταν δὲ ἐπ’ αὐτὰ τὰ ἄκρα καὶ πρῶτα μεταβαίνωμεν, οὐκέτι δυνάμεθα, εἴτε διὰ τὸ μὴ ἔχειν αἰτίαν εἴτε διὰ τὴν ἡμετέραν ἀσθένειαν ὥσπερ πρὸς τὰ φωτεινότατα βλέπειν. τάχα δ’ ἐκεῖνο ἀληθέστερον ὡς αὐτῷ τῷ νῷ τῶν τοιούτων ἡ θεωρία θιγόντι καὶ οἷον ἁψαμένῳ, διὸ καὶ οὐκ ἔστιν ἀπάτη περὶ αὐτά. Χαλεπὴ δὲ καὶ εἰς αὐτὸ τοῦθ’ ἡ σύνεσις καὶ ἡ πίστις, ἐπεὶ καὶ ἄλλως μέγα καὶ πρὸς τὰς καθ’ ἕκαστα πραγματείας ἀναγκαῖον καὶ μάλιστα τὰς μεγίστας, ἐν τίνι ποιητέον τὸν ὅρον, οἷον περὶ τὰς τῆς φύσεως καὶ περὶ τὰς ἔτι προτέρας. οἱ γὰρ ἁπάντων ζητοῦντες λόγον ἀναιροῦσιν λόγον, ἅμα δὲ καὶ τὸ εἰδέναι· μᾶλλον δ’ ἀληθέστερον εἰπεῖν ὅτι ζητοῦσιν ὧν οὐκ ἔστιν οὐδὲ πέφυκεν. ὅσοι 〈δὲ〉 τὸν οὐρανὸν ἀίδιον ὑπολαμβάνουσιν, ἔτι δὲ τὰ κατὰ τὰς φορὰς καὶ τὰ μεγέθη καὶ τὰ σχήματα καὶ τὰς ἀποστάσεις καὶ ὅσα ἄλλα ἀστρολογία δείκνυσιν, τούτοις κατάλοιπον τά τε πρῶτα κινοῦντα καὶ τὸ τίνος ἕνεκα λέγειν καὶ τίς ἡ φύσις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑκάστου καὶ ἡ πρὸς ἄλληλα θέσις καὶ ἡ τοῦ σύμπαντος οὐσία καὶ ὑποβαίνοντι δὴ πρὸς τὰ ἄλλα καθ’ ἕκαστον τῶν εἰδῶν ἢ μερῶν ἄχρι ζῴων καὶ φυτῶν.

Metaph.10a εἰ οὖν ἀστρολογία συνεργεῖ μέν, οὐκ ἐν τοῖς πρώτοις δὲ τῆς φύσεως, ἕτερα τὰ κυριώτατ’ ἂν εἴη καὶ πρότερα· καὶ γὰρ δὴ καὶ ὁ τρόπος, ὡς οἴονταί τινες, οὐ φυσικὸς ἢ οὐ πᾶς. καίτοι τό γε κινεῖσθαι καὶ ἁπλῶς τῆς φύσεως οἰκεῖον καὶ μάλιστα τοῦ οὐρανοῦ. διὸ καὶ εἰ ἐνέργεια τῆς οὐσίας ἑκάστου καὶ τὸ καθ’ ἕκαστον ὅταν ἐνεργῇ καὶ κινεῖται, καθά περ ἐν τοῖς ζῴοις καὶ φυτοῖς (εἰ δὲ μή, ὁμώνυμα), δῆλον ὅτι κἂν ὁ οὐρανὸς ἐν τῇ περιφορᾷ κατὰ τὴν οὐσίαν εἴη, χωριζόμενος δὲ καὶ ἠρεμῶν ὁμώνυμος· οἷον γὰρ ζωή τις ἡ περιφορὰ τοῦ παντός. ἆρ’ οὖν εἴ γε μηδ’ ἐν τοῖς ζῴοις τὴν ζωὴν ἢ ὡδὶ ζητητέον, οὐδ’ ἐν τῷ οὐρανῷ καὶ τοῖς οὐρανίοις τὴν φορὰν ἢ τρόπον τινὰ ἀφωρισμένον; συνάπτει δέ πως ἡ νῦν ἀπορία καὶ πρὸς τὴν ὑπὸ τοῦ ἀκινήτου κίνησιν. Ὑπὲρ δὲ τοῦ πάνθ’ ἕνεκά του καὶ μηδὲν μάτην, ἄλλως 〈θ’〉 ὁ ἀφορισμὸς οὐ ῥᾴδιος, καθά περ πλεονάκις λέγεται (πόθεν δ’ ἄρξασθαι χρὴ καὶ εἰς ποῖα τελευτᾶν;), καὶ δὴ ἔνια τῷ μὴ δοκεῖν ἔχειν οὕτως ἀλλὰ τὰ μὲν συμπτωματικῶς τὰ δ’ ἀνάγκῃ τινί, καθά περ ἔν τε τοῖς οὐρανίοις καὶ ἐν τοῖς περὶ τὴν γῆν πλείοσιν. τίνος γὰρ ἕνεκα αἱ ἔφοδοι καὶ ἀνάρροιαι θαλάττης [ἢ τίνος αἱ προχωρήσεις] ἢ ἀναξηράνσεις καὶ ὑγρότητες καὶ ὅλως πρὸς ἄλλοτ’ ἄλλο μεταβολαὶ καὶ φθοραὶ καὶ γενέσεις, [ἢ αἱ μὲν ἐν αὐτῇ τῇ γῇ ἀλλοιώσεις καὶ μεταβολαὶ γίνονται πρὸς ἄλλοτ’ ἄλλο μεθισταμένων] καὶ ἕτερα δ’ οὐκ ὀλίγα παρόμοια τούτοις; ἔτι δ’ ἐν αὐτοῖς τοῖς ζῴοις τὰ μὲν ὥσπερ μάταια, καθά περ τοῖς ἄρρεσιν οἱ μαστοὶ καὶ τοῖς θήλεσιν ἡ πρόεσις, εἴ περ μὴ συμβάλλεται, καὶ πώγωνος δ’ ἐνίοις ἢ ὅλως τριχῶν ἔκφυσις ἔν τισιν τόποις· ἔτι δὲ κεράτων μεγέθη καθά περ τῶν ἐλάφων τοῖς 〈οὐκ ὠφελουμένοις, τοῖσ〉 δὲ καὶ λελωβημένοις κνήσει τε καὶ παραιωρήσει καὶ ἐπιπροσθήσει τῶν ὀμμάτων· καὶ ὡς ἔνια δὴ βίᾳ ἢ παρὰ φύσιν, ὥσπερ ὁ ἐρῳδιὸς ὀχεύει καὶ τὸ ἡμερόβιον ζῇ· καὶ ἕτερα οὐκ ὀλίγα λάβοι τις ἂν τοιαῦτα.

Metaph.10b Καὶ τὸ μέγιστον δὴ καὶ μάλιστα δοκοῦν περὶ τὰς τροφὰς καὶ γενέσεις τῶν ζῴων· οὐθενὸς γὰρ ταῦθ’ ἕνεκα, ἀλλὰ συμπτώματα καὶ δι’ ἑτέρας ἀνάγκας. ἔδει γάρ, εἴ περ τούτων χάριν, ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως. ἔτι δ’ ἐν τοῖς φυτοῖς καὶ μᾶλλον τοῖς ἀψύχοις ὡρισμένην τιν’ ἔχουσι φύσιν, ὥσπερ δοκοῦσιν, καὶ μορφαῖς καὶ εἴδεσιν καὶ δυνάμεσιν, τίνος ἕνεκα ταῦτα ζητήσειεν ἄν τις. (αὐτὸ γὰρ τοῦτο ἄπορον τὸ μὴ ἔχειν λόγον, καὶ ταῦτ’ ἐν ἑτέροις μὴ ποιοῦσιν προτέροις καὶ τιμιωτέροις. ἦ καὶ ἔοικεν ὁ λόγος ἔχειν τι πιστόν, ὡς ἄρα τῷ αὐτομάτῳ ταῦτα καὶ τῇ τοῦ ὅλου περιφορᾷ λαμβάνει τινὰς ἰδέας ἢ πρὸς ἄλληλα διαφοράς.

Metaph.11a ) εἰ δὲ μή, τοῦ θ’ ἕνεκά του καὶ εἰς τὸ ἄριστον ληπτέον τινὰς ὅρους καὶ οὐκ ἐπὶ πάντων ἁπλῶς θετέον· ἐπεὶ καὶ τὰ τοιάδε ἔχει τινὰ διστασμὸν καὶ ἁπλῶς λεγόμενα καὶ καθ’ ἕκαστον· ἁπλῶς μὲν ὅτι τὴν φύσιν 〈εἰκὸσ〉 ἐν ἅπασιν ὀρέγεσθαι τοῦ ἀρίστου καὶ ἐφ’ ὧν ἐνδέχεται μεταδιδόναι τοῦ ἀεὶ καὶ τοῦ τεταγμένου· ὡς δ’ αὔτως καὶ ἐπὶ τῶν ζῴων ὁμοίως· ὅπου γὰρ οἷόν τε τὸ βέλτιον, ἐνταῦθα οὐδαμοῦ παραλείπει, οἷον τὸ ἔμπροσθεν τὴν φάρυγγα τοῦ οἰσοφάγου (τιμιώτερον γάρ), καὶ ἐν τῇ μέσῃ κοιλίᾳ τῆς καρδίας τὴν κρᾶσιν ἀρίστην, ὅτι τὸ μέσον τιμιώτατον· ὡσαύτως δὲ καὶ ὅσα κόσμου χάριν· εἰ γὰρ καὶ ἡ ὄρεξις οὕτως, ἀλλ’ ἐκεῖνό γ’ ἐμφαίνει διότι πολὺ τὸ οὐχ ὑπακοῦον οὐδὲ δεχόμενον τὸ εὖ, μᾶλλον δὲ πολλῷ πλεῖον· ὀλίγον γάρ τι τὸ ἔμψυχον, ἄπειρον δὲ τὸ ἄψυχον· καὶ αὐτῶν τῶν ἐμψύχων ἀκαριαίου καὶ βέλτιον τὸ εἶναι. τὸ δ’ ὅλον σπάνιόν τι καὶ ἐν ὀλίγοις τὸ ἀγαθόν, πολὺ δὲ πλῆθος εἶναι τὸ κακόν, οὐκ ἐν ἀοριστίᾳ δὲ μόνον καὶ οἷον ὕλης εἴδει, καθά περ τὰ τῆς φύσεως, ἀμαθεστάτου. εἰκῇ γὰρ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ τὸ περὶ τὴν τοῦ μέσου χώραν, τὰ δ’ ἄκρα καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα καλῶς ἔτυχεν ὄντα. Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι μακρὰν τὴν ἀπόστασιν, ἐπιμιμεῖσθαι δ’ ἐθέλειν ἅπαντα· καίτοι καθά περ ἀντίθεσίν τινα ποιοῦσιν τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός, ἐν ᾗ καὶ τὸ ἄπειρον καὶ τὸ ἄτακτον καὶ πᾶσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς εἰπεῖν ἀμορφία καθ’ αὑτήν, ὅλως οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ’ οἷον ἰσομοιρεῖν ἢ καὶ ὑπερέχειν τῆς ἑτέρας· ᾗ καὶ τὰς ἀρχὰς ἐναντίας.

Metaph.11b διὸ καὶ οὐδὲ τὸν θεόν, ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσιν, δύνασθαι πάντ’ εἰς τὸ ἄριστον ἄγειν, ἀλλ’ εἴ περ, ἐφ’ ὅσον ἐνδέχεται· τάχα δ’ οὐδ’ ἂν προέλοιτ’, εἴ περ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν ἐξ ἐναντίων γε καὶ 〈ἐν〉 ἐναντίοις οὖσαν. φαίνεται δὲ καὶ ἐν τοῖς πρώτοις ἐπιθεωρούμενα πολλὰ καὶ ὡς ἔτυχεν, οἷον τὰ περὶ τὰς τῆς γῆς λεχθέντα μεταβολάς· οὔτε γὰρ τὸ βέλτιον οὔτε τὸ τινὸς χάριν, ἀλλ’ εἴ περ, ἀνάγκῃ τινὶ κατακολουθεῖν· πολλὰ δὲ καὶ ἐν τῷ ἀέρι τοιαῦτα καὶ ἐν ἄλλοις. μάλιστα δ’ ἂν δόξειεν ἔχειν τήν γε τάξιν τῶν μὲν αἰσθητῶν τὰ οὐράνια, τῶν δ’ ἄλλων, εἰ μὴ ἄρα καὶ πρότερα τούτων, τὰ μαθηματικά· εἰ γὰρ καὶ μὴ πᾶν ἀλλ’ ἐν τούτοις πλέον τὸ τεταγμένον. πλὴν εἴ τις τοιαύτας λαμβάνοι τὰς μορφὰς οἵας Δημόκριτος ὑποτίθεται τῶν ἀτόμων. Ἀλλὰ δὴ τούτων μὲν πέρι σκεπτέον· ὃ δ’ ἐξ ἀρχῆς ἐλέχθη, πειρατέον τινὰ λαμβάνειν ὅρον καὶ ἐν τῇ φύσει καὶ ἐν τῇ τοῦ σύμπαντος οὐσίᾳ καὶ τοῦ ἕνεκά του καὶ τῆς εἰς τὸ βέλτιον ὁρμῆς. αὕτη γὰρ ἀρχὴ τῆς τοῦ σύμπαντος θεωρίας, ἐν τίσιν τὰ ὄντα καὶ πῶς ἔχει πρὸς ἄλληλα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org